καὶ ἐν θυμῷ κατάξεις ἔθνη.
13 ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου 13
τοῦ σῶσαι τοὺς χριστούς σου·
ἔβαλες εἰς κεφαλὰς ἀνόμων θάνατον,
ἐξήγειρας δεσμοὺς ἕως τραχήλου.
διάψαλμα.
14 διέκοψας ἐν ἐκστάσει κεφαλὰς δυναστῶν, 14
σεισθήσονται ἐν αὐτῇ·
διανοίξουσιν χαλινοὺς αὐτῶν
ὡς ἔσθων πτωχὸς λάθρᾳ.
15 καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς ἵππους σου 15
ταράσσοντας ὕδωρ πολύ.
16 ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ κοιλία μου 16
ἀπὸ φωνῆς προσευχῆς χειλέων μου,
καὶ εἰσῆλθεν τρόμος εἰς τὰ ὀστᾶ μου,
καὶ ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου.
ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεως
τοῦ ἀναβῆναι εἰς λαὸν παροικίας μου.
17 διότι συκῆ οὐ καρποφορήσει, 17
καὶ οὐκ ἔσται γενήματα ἐν ταῖς ἀμπέλοις·
ψεύσεται ἔργον ἐλαίας,
καὶ τὰ πεδία οὐ ποιήσει βρῶσιν·
ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα,
καὶ οὐχ ὑπάρχουσιν βόες ἐπὶ φάτναις.
18 ἐγὼ δὲ ἐν τῷ κυρίῳ ἀγαλλιάσομαι, 18
χαρήσομαι ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου.
19 κύριος ὁ θεὸς δύναμίς μου 19
καὶ τάξει τοὺς πόδας μου εἰς συντέλειαν·
ἐπὶ τὰ ὑψηλὰ ἐπιβιβᾷ με
τοῦ νικῆσαι ἐν τῇ ᾠδῇ αὐτοῦ.

$12^{2}$ θυμω] + σου A || $13^{2}$ τον χρ(ε)ιστον BS*† | $13^{3}$ βαλ(ε)ις BS*† | $13^{5}$ διαψαλμα] εις τελος *LC*, pr. εις τελος S$^{c}$, > Q || $14^{4}$ εσθιων S$^{c}$*LC* || $15^{1}$ επεβ. εις] επιβιβας εις B†, επιβιβασις S*† | $15^{2}$ υδατα πολλα S$^{c}$*LC* || $16^{1}$ κοιλια] καρδια S$^{c}$*C* | $16^{4}$ και > S*† | εξις] ισχυς S$^{c}$ | $16^{6}$ αναβηναι] + με S$^{c}$*C* || $17^{5}$ εξελιπεν BS**L* | $17^{6}$] + εξιλασεως αυτων AQ(Q* om. λ)W: cf. Od. 4 17 || $18^{1}$ εν] επι AQ || $19^{1}$ θεος] + μου S$^{c}$*LC*: cf. Od. 4 19 | $19^{2}$ εις συντελ.] ως ελαφων W$^{c}$*L*$^{(+)}$ | $19^{3}$] pr. και S$^{c}$ | $19^{4}$ νικ.] + με AS$^{c}$*C* | ωδη] οδω S*W
Subscr. αμβακουμ η' BSA: cf. inscr.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/541 UNIVERSITÄT LEIPZIG